# SAPPHO

## (1)

– ∪ – ⏓ ⁝ – ∪ ∪ – ⁝ ∪ – –     1, 2, 3
– ∪ ∪ – –     4

*ποικιλόθρον' ἀθανάτ' Ἀφρόδιτα,
παῖ Δίος δολόπλοκε, λίσσομαί σε,
μή μ' ἄσαισι μηδ' ὀνίαισι δάμνα,
πότνια, θῦμον,*

*ἀλλὰ τυίδ' ἔλθ', αἴ ποτα κἀτέρωτα
τὰς ἔμας αὔδας ἀίοισα πήλοι
ἔκλυες, πάτρος δὲ δόμον λίποισα
χρύσιον ἦλθες*

*ἄρμ' ὐπασδεύξαισα· κάλοι δέ σ' ἆγον
ὤκεες στροῦθοι περὶ γᾶς μελαίνας
πύκνα δίννεντες πτέρ' ἀπ' ὠράνωἴθε-
ρος διὰ μέσσω,*

*αἶψα δ' ἐξίκοντο· σὺ δ', ὦ μάκαιρα,
μειδιαίσαισ' ἀθανάτῳ προσώπῳ
ἤρε' ὄττι δηὖτε πέπονθα κὤττι
δηὖτε κάλημμι,*

*κὤττι μοι μάλιστα θέλω γένεσθαι
μαινόλᾳ θύμῳ· τίνα δηὖτε πείθω
ἄψ σ' ἄγην ἐς Ϝὰν φιλότατα; τίς σ', ὦ
Ψάπφ', ἀδικήει;*

1 *ποικιλόθρον', ποικιλόφρον* (vel sim.) codd. ]*ι̣κιλοθ̣ρ̣ο̣*[ pap. 19 .]*ψ σ. ἄγην̣*[ pap. *μαισαγηνεσσαν* vel *και-* codd. *Ϝὰν* Edmonds

καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει·
αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει·
αἰ δὲ μὴ φίλει, ταχέως φιλήσει
κωὐκ ἐθέλοισα.

ἔλθε μοι καὶ νῦν, χαλέπαν δὲ λῦσον
ἐκ μερίμναν, ὄσσα δέ μοι τέλεσσαι
θῦμος ἰμέρρει, τέλεσον· σὺ δ' αὔτα
σύμμαχος ἔσσο.

24 κωὐκεθέλουσα, κ' ὠυκ' ἐθέλοις, κῶ εἰ καὶ θέλεις codd.

(2)

δεῦρύ μ' ἐκ Κρήτας ἐπ[ὶ τόνδ]ε ναῦον
ἄγνον, ὄππ[ᾳ τοι] χάριεν μὲν ἄλσος
μαλί[αν], βῶμοι δὲ τεθυμιάμε-
νοι [λι]βανώτῳ·

ἐν δ' ὔδωρ ψῦχρον κελάδει δι' ὔσδων
μαλίνων, βρόδοισι δὲ παῖς ὀ χῶρος
ἐσκίαστ', αἰθυσσομένων δὲ φύλλων
κῶμα καταίρει·

ἐν δὲ λείμων ἰππόβοτος τέθαλεν
ἠρίνοισιν ἄνθεσιν, αἰ δ' ἄηται
μέλλιχα πνέοισιν [
[ ]

1 δευρυμμεκρητας.π[ ]. ναυγον ostr., interp. et suppl. L.-P. 2 suppl. Page 3 δεμιθυμ- ostr. δὲ τεθυμ- ci. Norsa 5 υσχων vel. υζων ostr. 8 καταγριον vel καταιριον ostr. καταρρεῖ Hermog. καταίρει Page 10 post τεθαλε τωτιτονριννοισ ostr. ἠρίνοισιν Vogliano, Schubart αιααιηται ostr. αἰ δ' ἄηται L.-P.

(31)

φαίνεταί μοι κῆνος ἴσος θέοισιν
ἔμμεν' ὤνηρ, ὄττις ἐνάντιός τοι
ἰσδάνει καὶ πλάσιον ἆδυ φωνεί-
σας ὐπακούει

καὶ γελαίσας ἰμέροεν, τό μ' ἦ μὰν
καρδίαν ἐν στήθεσιν ἐπτόαισεν·
ὠς γὰρ ἔς σ' ἴδω βρόχε', ὤς με φώναι-
σ' οὐδ' ἒν ἔτ' εἴκει,

ἀλλ' ἄκαν μὲν γλῶσσα †ἔαγε†, λέπτον
δ' αὔτικα χρῷ πῦρ ὐπαδεδρόμηκεν,
ὀππάτεσσι δ' οὐδ' ἒν ὄρημμ', ἐπιρρόμ-
βεισι δ' ἄκουαι,

κὰδ δέ μ' ἴδρως ψῦχρος ἔχει, τρόμος δὲ
παῖσαν ἄγρει, χλωροτέρα δὲ ποίας
ἔμμι, τεθνάκην δ' ὀλίγω 'πιδεύης
φαίνομ' ἔμ' αὔτ[ᾳ.

ἀλλὰ πὰν τόλματον, ἐπεὶ †καὶ πένητα†

5 μὴ ἐμὰν Long. cod. P, em. Lobel 7 ὡς γὰρ σἴδω P, em. Lobel βρόχεώς P, distinxit Tollius φωνὰς P, em. Danielsson 9 ἀλλὰκᾶν P, distinx. L.-P. ἀλλὰ κὰμ apogg. 13 έκαδε μ' ἴδρῶς ψυχρὸς κακχέεται P ἀδεμ' ἰδρὼς κακὸς χέεται *An. Ox.* i. 208 Cramer κὰδ δέ μ' ἴδρως ψῦχρος ἔχει Page 15 πιδεύσην P 'πιδεύης ci. Hermann 'πιδεύην Ahrens 16 vid. *Dai Papiri della Società Italiana* (Firenze, 1965), 16–17 (Manfredo Manfredi)